ἐπήκουσα φωνῆς μεγάλης, λεγούσης· ἰδοὺ ἡ σκηνὴ τοῦ θεοῦ μετὰ τῶν ἀν-
θρώπων, καὶ σκηνώσει μετ' αὐτῶν. καὶ ὁ θεὸς μετ' αὐτῶν ἔσται. καὶ ἐξαλείψει
πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν, καὶ θάνατος οὐκ ἔσται
ἔτι. ὅτι τὰ πάντα ἀπῆλθε. καὶ ἔδειξέ μοι τὴν πόλιν ἱερουσαλὴμ ἔχουσαν τὴν δόξαν
ἀπὸ θεοῦ. καὶ οἱ θεμέλιοι τοῦ τείχους αὐτῆς. λίθοις τιμίοις κεκοσμη-
μένοι. καὶ ἡ πλατεῖα, χρυσίον καθαρόν, ὡς ὕαλος διαυγής. καὶ
ναὸν οὐκ εἶδον ἐν αὐτῇ· ὁ γὰρ κύριος ναὸς αὐτῆς ἐστί. καὶ οὐ μὴ εἰσέλθῃ
εἰς αὐτὴν πᾶν κοινόν. καὶ πᾶς ποιῶν ἐν αὐτῇ βδέλυγμα καὶ ψεῦδος, εἰ μὴ
οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς. καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ
ἡλίου, οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν αὐτῇ. ὁ γὰρ ἡ δόξα τοῦ
θεοῦ ἐφώτισεν αὐτήν. καὶ νὺξ οὐκ ἔσται ἐκεῖ ἔτι. ὁ γὰρ κύριος φωτίζει αὐ-
τῆς. καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. τὸ τηνικαῦτα οἱ μὲν κα-
ταξιωθέντες τῆς ἐν οὐρανοῖς πολιτείας, ἐκεῖσε χωρήσουσιν. οἱ δὲ
τῆς τοῦ παραδείσου τρυφῆς ἀπολαύσουσιν. οἱ δὲ τὴν βασιλείαν καὶ τὴν κλη-
ρονομίαν τῆς γῆς κληρονομήσουσιν ἐν πᾶσι τοῖς περὶ αὐτὴν ἀγαθοῖς, ἐπι-
χορηγουμένοις ἀπὸ τοῦ θεοῦ. πάντως γὰρ ὅσοι ἐργάζονται καλῶς
ἀξιωθήσονται οἱ ὀφθαλμοὶ αὐτῶν. ἀνάλογον δὲ τὴν διαφορὰν ταύτης τῆς
οἰκήσεως τὰ ἑκατὸν καρποφοροῦντες, καὶ τὰ ἑξήκοντα. καὶ
τὰ τριάκοντα. ὥσπερ οἱ μὲν, εἰς τοὺς οὐρανοὺς ἀναληφθήσονται.
οἱ δὲ ἐν τῷ παραδείσῳ διαιτήσονται. οἱ δὲ τὴν πόλιν κατοικήσουσιν.
ἐν διαφόροις τόποις. ἐν τοῖς τοῦ πατρός μου μοναὶ εἰσὶ πολλαί.
τὰ πάντα γὰρ τοῦ θεοῦ, ὃς τοῖς πᾶσιν ἁρμόζουσαν οἰκίαν παρέξει :-

ἐρώτ(ησις) ιϛ'

Πόθεν γινώσκεται ὁ ἄνθρωπος εἰ οἰκειοῦται τῷ Χ(ριστ)ῷ ; Ἀπό(κρισις) ὁ ἐ(πίσκοπος)
τῷ θεῷ τῷ ἐρωτῶντι, ὁμοίως ἐστὶ τοῦ ἐρωτῶντος τὴν ἐγνωσμένην καινά, ὅτι
πρὸς θεὸν οἱ δὲ ἀγαπῶντες αὐτοῦ ἐντολάς. ὡς περὶ οὗ ἐν αὐτῷ οὐδὲ τὸ,
περὶ τοῦ θεοῦ ἀγαπητοῦ, ἀλλ' αὐτοῦ τῆς ἀγάπης οἱ δὲ ἐν αὐτῇ, ὅτι τῆς
ἀναστροφῆς τῶν αἱμάτων, ὅτι τῶν ἐν ὅλῳ τοῦ βραχίονος τῆς μητρός,
ὅτι καθόλου καὶ τῆς ἀποχῆς τῶν πολλῶν βρωμάτων, ὁ ἐπιγνώσεται. οὕτω